ſi aſtitem in acie deſeruerit,ad ignauiam: ſi verberauerit, ad iram. at ſi lucratus eſt quiſpiam, ad nullum aliud vitium redigi id,quàm ad iniuſtitiam poteſt.Quare perſpicuum eſt eſſe iniuſtitiam quandam ab illa integra & vniuerſali iniuſtiria diuerſam, quæ locum partis obtineat, atque vniuoca ſit: eò quòd in eodem genere eſt definitio. vtriuſque enim vis in eo conſiſtit,vt ad alterum ſpectent:ſed hęc tamen circa honorem,aut pecunias,aut ſalutem, aut ſi cuncta nomine vno poſſent comprehendi,circa ea omnia verſatur, ob voluptatem, quæ è lucro conſequitur, illa autem circa vniuerſa, circa quæ etiam probus vir munus ſuum exercet.

CAPVT V.

ESſe igitur iuſtitias plures,atque ex his vnam quandam quæ diuerſa à tota & integra virtute ſit, iam patet: quæ autem ea ſit,& qualis ſtatuendum eſt. Definitum iam fuit iniurium id eſſe quod & illegitimum,& iniquum eſſet:ius verò,quod & legitimum & æquum, ex illegitimo verò iniuſtitia prior illa, de qua diximus, exiſtit. At quia iniquum & illegitimum non eſt idem,ſed diuerſa ita ſunt,vt pars & totum. omne enim iniquum eſt illegitimum, non omne autem illegitimum eſt iniquum: & plus omne eſt iniquum, non autem contrà iniquum omne plus eſt, efficitur,vt iniuria quoque & iniuſtitia non eadem,ſed diuerſa ab illis ſint: atque hæc vt partes,illa vt tota habeantur,hæc enim iniuſtitia vniuerſæ illius iniuſtitiæ pars eſt, & iuſtitia iuſtitiæ ſimiliter. Quare etiam de iuſtitia particulari, & particulari iniuſtitia, de iure item & iniuria dicendum eſt,ea igitur quæ ex tota virtute conſtituta eſt iuſtitia,& iniuſtitia,quarum altera totius virtutis, altera totius vitioſitatis vſus ad alterum eſt: omittatur ius quoque & iniuria,quę ex his dependent,quomodo definienda ſint, manifeſtum eſt. Pleraque enim legitima ea ferè ſunt, quæ ex integra ac tota virtute præcipiuntur: nam lex ſecundum vnamquanque virtutem viuere iubet, ſecundum vnumquodque vitium prohibet,effectricia autem totius virtutis ea ſunt legitima, quæ legibus ad publicam inſtitutionem ſancita ſunt. Quæ verò ad ſingulorum inſtitutionem ſpectant, qua abſolutè vir bonus euadit, ciuiliſne ſit facultatis an alterius, poſtea definiemus. non enim idem fortaſſe eſt virum aliquem & ciuem omnem eſſe bonum. Iuſtitiæ igitur particularis, iuriſque eius , quod ad ipſam attinet, vna ſpecies eſt, quæ in diſtributionibus aut honoris aut,

A εἰ δ' ἐπάταξεν, ἐπὶ ὀργήν· εἰ δ' ἐκέρδανεν, ἐπ' οὐδεμίαν μοχθηρίαν, ἀλλ' ἢ ἐπ' ἀδικίαν· ὥστε φανερὸν ὅτι ἔστι τις ἀδικία παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει, συνώνυμος· ὅτι ὁ ὁρισμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν· ἀλλ', ἡ μὲν περὶ τιμὴν, ἢ χρήματα, ἢ σωτηρίαν, ἢ εἴ τινι ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν ταῦτα πάντα· καὶ δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους· ἡ δὲ, περὶ ἅ- B παντα περὶ ὅσα ὁ σπουδαῖος.

Κεφάλαιον ε.

Ὅτι μὲν οὖν εἰσὶ δικαιοσύναι πλείους, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετήν, δῆλον· τίς δὲ καὶ ὁποία τις ληπτέον. διώρισται δὴ τὸ ἄδικον, τό, τε παράνομον, καὶ τὸ ἄνισον· τὸ δὲ δίκαιον, τό, τε νόμιμον καὶ C τὸ ἴσον. κατὰ μὲν οὖν τὸ παράνομον, ἡ πρότερον εἰρημένη, ἀδικία ἐστίν. ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν, ἀλλ' ἕτερον, ὡς μέρος πρὸς ὅλον· (τὸ μὲν γὰρ πλέον ἅπαν ἄνισον, τὸ δ' ἄνισον οὐ πᾶν πλέον) καὶ τὸ ἄδικον καὶ ἡ ἀδικία οὐ ταὐτὰ, ἀλλ' ἕτερα ἐκείνων· τὰ μὲν, ὡς μέρη· τὰ δ', ὡς ὅλα· μέρος γὰρ αὕτη ἡ ἀδικία τῆς ὅλης ἀδικίας· ὁ- D μοίως δὲ καὶ ἡ δικαιοσύνη τῆς δικαιοσύνης. ὥστε καὶ περὶ τῆς ἐν μέρει δικαιοσύνης καὶ ἀδικίας λεκτέον, καὶ τοῦ δικαίου καὶ τοῦ ἀδίκου ὡσαύτως. ἡ μὲν οὖν κατὰ τὴν ὅλην ἀρετὴν τεταγμένη δικαιοσύνη καὶ ἀδικία, ἡ μὲν, τῆς ὅλης ἀρετῆς οὖσα χρῆσις πρὸς ἄλλον· ἡ δὲ, τῆς κακίας, ἀφείσθω· καὶ τὸ δίκαιον δὲ καὶ τὸ ἄδικον τὸ κατὰ ταύτας, φανερὸν ὡς διοριστέον· σχεδὸν γὰρ τὰ πολλὰ τῶν E νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς προσταττόμενά ἐστι· καθ' ἑκάστην γὰρ ἀρετὴν προστάττει ζῆν, καὶ καθ' ἑκάστην μοχθηρίαν κωλύει ὁ νόμος. τὰ δὲ ποιητικὰ τῆς ὅλης ἀρετῆς ἐστι τῶν νομίμων ὅσα νενομοθέτηται περὶ παιδείαν τὴν πρὸς τὸ κοινόν. περὶ δὲ τῆς καθ' ἕκαστον παιδείας, καθ' ἣν ἁπλῶς ἀνὴρ ἀγαθός ἐστι, πότερον τῆς F πολιτικῆς ἐστιν, ἢ ἑτέρας, ὕστερον διοριστέον· οὐ γὰρ ἴσως ταὐτὸν ἀνδρί τε ἀγαθῷ εἶναι, καὶ πολίτῃ παντί. τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου,